# TEZAUR LITURGIC

## 9 NOIEMBRIE

# SLUJBA SF.CUVIOASE TEOCTISTA DE LA LESBOS

ATENA,2010

www.tezaurliturgic.ro



# 09 ΝΟΕΜΒΡΙΟΥ
# ΘΕΟΚΤΙΣΤΗΣ ΛΕΣΒΙΑΣ ΟΣΙΑΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εις το Κύριε εκέκραξα, ιστώμεν στίχους στ` και ψάλλομεν Στιχηρά Προσόμοια.

*Ήχος β`. Ότε, εκ του ξύλου*

Λέσβος, η πατρίς σου ω σεμνή, Μήθυμνα δε πόλης Οσία, η θρεψαμμένη σε, Κρήτες δε σε Άραβες αιχμαλωτεύσαντες, εν τη νήσω προσόρμισαν, τη Πάρω Οσία, ένθα θεωρήσασα, φυγήν εξέφυγες, πάσας τας του Νήσυρι χείρας, θεία κυβερνήσει του Λόγου, του υπέρ ημών ενανθρωπίσαντος.

Ότε, σε προνοία θεϊκή, αγρίων θηρών κυνηγέτης, Οσία εύρατο, θάμβει συνεχόμενος, και εκπληττόμενος, τη ενσάρκω αύλω σου, φρικτή θεωρία, δόξαν δε ανέπεμπε τω ευεργέτη Θεώ, τω καταξιώσαντι τούτον, σώμα σου σεπτόν κατιδέσθαι, και σης ευλογίας απαρύσασθαι.

Φέροντες, Οσία ευλαβώς, του εωρακότος σε πρώην, σώμα του σου εραστού, δάκρυσι κατεύγαζες σαυτήν κραυγάζουσα: νυν απόλυσον Δέσποτα, Χριστέ την σην δούλην, ιδού γαρ ενέτυχον του σωτηρίου φωτός: όθεν των προσκαίρων λυθείσα, τη επωνύμω παστάδι συν χοροίς αγίων κατεσκύνωσας.

*Έτερα προσόμοια. Ήχος Α`. Των ουρανίων ταγμάτων*

Των μιαιφόνων τυράννου χειρών ρυσθείσα Θεού προνοία Θεοκτίστη, και ναώ οικισθείσα, της μονής Θεοτόκου, ολολαμπής, ώσπερ ήλιος έλαμψας· διο μη παύση πρεσβεύειν υπέρ ημών, των τελούντων σου την μνήμην αεί.

Την εκ Λέσβου οσία πάντες υμνήσωμεν, ως εκλεκτήν Κυρίω, και ομόσκηνον πάντων· οσίων τε και δικαίων, ιεραρχών, και αγγέλων συνόμιλον· μεθ` ων αεί ικέτευε υπέρ ημών· λυτρωθήναι από πάσης οργής.

Εις Παρθενώνα δοθείσα εκ των συγγόνων των σων· μοναζουσών το σχήμα, περιέβαλλες Μήτηρ, οσία Θεοκτίστη, και τω Θεώ κατά μόνας δουλεύσασα, εν ουρανοίς συναγάλλη χαρμονικώς, τοις αγγέλων και αγίων χοροίς.

*Δόξα. Ήχος β`.*

Το καθαρόν της παρθενίας σου τηρήσασα άμωμον, νύμφη Θεού εχρημάτισας, Θεοκτίστη παμμακάριστε· εν γαρ τω ναώ ηρετίσω της παναμώμου οικείν· απαύστους ωδάς και αγρύπνους προσευχάς, αεί τω Θεώ αναπέμπουσα· όθεν και παρ` αυτού εκ των τήδε μεταστάσα, ουρανίων θαλάμων ενδόξως ηξιώθης· συν χοροίς ασωμάτων· δια παντός δυσωπούσα, υπέρ των ψυχών ημών.

*Και νυν. Παρήλθεν η σκιά του νόμου.*

*Το Προκείμενον της ημέρας.*
*Και τα αναγνώσματα.*

*Σοφία Σολομώντος*

Δικαίων ψυχαί εν χειρί Θεού και ου μη άψηται αυτών βάσανος· έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι· και ελογίσθη κάθοδος η έξοδος αυτών και η αφ` ημών πορεία σύντριμμα, οι δε εισίν εν ειρήνη· και γαρ εν όψει αυτών εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης, και ολίγα παιδευθέντες μεγάλα ευργετιθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού· ως χρυσόν εν χωνευτηρίων εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς, και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμι διαδραμούνται, κρινούσιν έθνη και κρατήσουσι λαών, και οι πίστοι εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

*Σοφία Σολομώντος*

Δίκαιοι εις τον αιώνα ζώσι· και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω· δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλους εκ χειρός Κυρίου· ότι τη δεξία αυτού σκεπάσει αυτούς. Και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυνα εχθρών· ενδύσεται θώρακα δικαιοσύνης, και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον· λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν·

συνεκπολεμήσει δε αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών· και ως από ευκύκλου τόξου των νεφών επισκοπών αλούνται· και εκ πετροβόλου θυμού πλήρεις ριφίζονται χάλαζαι· αγανακτήσει κατ` αυτών ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως· αντιστήσεται αυτής πνεύμα δυνάμεως· και ως λαίλαψ εκλιμήσει αυτούς· και ερημώσει πάσαν την γην ανομίαν, και η κακοπραγία περιστρέψει θρόνους δυναστών· ακούσατε ουν βασιλείς και σύνεται· μάθετε δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις ημών, και η δυναστεία παρά Υψίστου.

*Παροιμιών το Ανάγνωσμα.*

Υιέ άνοιγε σον στόμα λόγω Θεού, και κρίνε πάντα υγιώς· άνοιγε σον στόμα και κρίνε δικαίως. Διάκρινε δε πένητα και ασθενή· γυναίκα ανδρείαν τις ευρήσει; Τιμιωτέρα δε εστιν λίθων πολυτελών η τοιαύτη· θαρσεί επ` αυτή η καρδία του ανδρός αυτής· η τοιαύτη σκύλων ουκ απορήσει· ενεργεί γαρ τω ανδρί αυτής αγαθά, και ουκ κακά πάντα τον χρόνον ευρομένη έρια και λίνον, εποίησεν ευχάριστα τοις χερσίν αυτής τον πλούτον, και ανίσταται εκ νυκτός, και έδωκε βρώματα τω οίκω, και έργα ταις θεραπαίναις· θεωρήσασα γεώργιον επρίατο· από δε των καρπών των χειρών αυτού κατεφύτευσε κτήμα·

αναζωσαμένη ισχυρών την οσφύν αυτής, ήρεισε του βραχίονα αυτής εις έργον· εγεύσατο ότι καλόν το εργάζεσθαι· και ου σβέννηται ο λύχνος αυτής όλην την νύκτα· τας χείρας αυτής εκτείνει επί τα συμφέροντα· τους πήχεις αυτής ερείδει εις άτρακτον. Θύρα δε αυτής διήνοιξε πένητι· καρπόν δε εξέτεινε πτωχώ. Ου φροντίζει τα εν οίκω ο ανήρ αυτής όταν που χρονίζει· πάντες γαρ αυτή, ενδεδυμένοι εισί· δισσάς στολάς και χλαίνας. Εποίησε τω ανδρί αυτής, εκ δε βύσσου και πορφύρας εαυτής ενδύματα· περίβλεπτος δε γίνεται πύλαις ο ανήρ αυτής, ηνίκα αν κάθηται εν συνεδρίω μετά των πρεσβυτέρων· και κατοίκων της γης· σινδόνας εποίησε και απέδοτο τοις Φοίνιξι· περιζώματα δε τοις Χαναναίοις· ισχύν και ευπρέπειαν ενεδύσατο· και ευφράνθη εν ημέραις εσχάταις· στόμα δε αυτής διήνοιξε προσεχόντως· και τάξιν εστείλατο της γλώσσας αυτής· στεναί διατριβών οίκων αυτής· σίτα δε οκνηρά ουκ έφαγε· ανέστη τα τέκνα αυτής και ήνεσαν αυτήν, και ο ανήρ αυτής επήνησεν αυτήν· πολλαί θυγατέρες εποίησαν δύναμιν· πολλαί εκτήσαντο πλούτον. Συ δε υπέρκεισαι και υπερήρας πάσας, ψευδείς αρέσκειαι, και μάταιον κάλος γυναικών ουκ έστιν εν σοι· γυνή γαρ συνετή ευλογείται· φόβον δε Κυρίου αύτη αινείτω. Δότε αυτή από καρπών χειλέων αυτής και αινείσθω εν πύλαις ο ανήρ αυτής.

*Εις την Λιτήν· στιχηρά ιδιόμελα.*
*Ήχος α`.*

Χρεωστικώς οι πιστοί συνελθόντες, ευσεβώς πανηγυρίσωμεν, την του Χριστού παρθένον και Οσίαν Θεοκτίστην την αοίδιμον· αύτη γαρ τη του Σταυρού πανοπλία καθοπλισθείσα, τους αοράτους εχθρούς κατηδάφισε· και τον της Άγαρ γόνον τελείως βυθώ κατεπόντισε· αυτή και ημείς εκβοήσωμεν· πανακήρατε νύμφη του Χριστού ημών· δυσωπούμεν σε οι δούλοι σου, τον περιεστώτα λαόν σου περιφύλατται πρεσβείαις σου.

Φερωνύμως την κλήσιν παρά Θεού κεκλήρωσαι, Θεοκτίστη παμμακάριστε, τη γαρ πίστει, ελπίς, αγάπη σε αυτήν περιτειχίσασα· και ταις καλλοναίς των καμάτων σου κοσμηθείσα, ναός ζων και έμψυχος αυτώ εχρημάτισας· όθεν σοι και παρά μόνην ποιησάμενος, κατοικείν ηρετίσατω, ως θείω αυτού τεμένει· ω και πρεσβεύεις απαύστως υπέρ των ψυχών ημών.

*Ήχος β`.*

Δεύτε φιλοπάρθενοι πάντες` και των οσίων ερασταί. Δεύτε ευφημήσωμεν την του Χριστού παρθένου και οσίαν` των ασκουσών το αγαλλίαμα και Πάρου το διάσωσμα,

Θεοκτίστην την αοίδιμον` της γαρ ουρανίαις σκηναίς χοροβατούσα συν αρχαγγέλων στρατιαίς, τον ύμνον απαύστως τη Τριάδι αναμέλπει, και αμέσως εντυγχάνει

υπέρ των ψυχών ημών.

*Δόξα πατρί. Ήχος πλ. Α`.*

Η σοφία του Θεού, η το παν συντηρούσα, θεϊκή εξουσία· και διακυβερνώσα τη εαυτής προνοία· αυτήν σε των βαρβαρικών παγίδων ως φιλέρημον τρυγόνα διεσώσατο· και τον δυσσεβή θήρα Νίσσηριν παμπλοίως βυθώ κατεπόντισεν, ως τολμήσοντα κατά του θείου της Θεοτόκου ναού την στολήν κατασυντρίψας, του σεπτού θυσιαστηρίου.

Όθεν των αυτού μιαιφόνων χειρών ρυσθείσα, τη αοράτω βοηθεία, την έρημον ταύτην ηρετίσω κατοικείν. Εξευμενίζουσα το θείον· τη άκρα σκληραγωγία· διο τεθησαύρισαι ως όλβος πολύτιμος· τη ουρανίω αποθήκη, εις αιώνα τον απέραντον.

*Και νυν.*

Σήμερον εν τω ναώ απολαβών σε Δέσποινα ο Ζαχαρίας ευφραίνεται, και τα άγια των αγίων αγάλλονται· υποδεξάμενα σε την τροφήν της ζωής ημών· διο και ημείς ψαλμικώς εκβοώμεν σοι· υπέρ ημών δυσώπησον τον Υιόν σου και Θεόν ημών, δωρηθήναι ημίν το μέγα έλεος.

*Εις τον Στίχον· Στιχηρά Προσόμοια. Ήχος δ`. Ως γενναίον εν μάρτυσιν.*

Των παρθένων τα τάγματα, ασκουσών η ομήγυρις· συνελθόντα σήμερον ευφημήσωμεν· την του Χριστού πανακήρατον, τρυγόνα την έμψυχον· και καλήν περιστεράν. Θεοκτίστην την ένδοξον και βοήσωμεν·

παναοίδημε νύμφη του Σωτήρος, ικετεύουσα μη παύση υπέρ ημών τον φιλάνθρωπον.

Στίχος: Υπομένων υπέμεινα τον Κύριον και πρόσεσχε και εισήκουσε της φωνής της δεήσεως μου.

Τη ασκήσει νεκρώσασα, της σαρκός τα σκιρτήματα και δακρύων όμβροις τε καταρδεύσασα, την σην ψυχήν πανακήρατε και πανύχοις στάσεσιν προσηνέχθης τω Θεώ.

Καθαρόν ενδιαίτημα· και απέλαβες των καμάτων τα γέρα επαξίως την ζωήν κληρωσαμένη την μηδεμώς λήξιν έχουσαν.

Στίχος: Και έστησεν επί πέτρα τους πόδας μου και κατηύθυνε τα διαβήματα μου.

Ως παρθένον ακήρατον, ως ασκήσεως άγαλμα, ως τρυγόνα άμωμον και αμίαντον, Χριστού της δόξης ο Κύριος σεμνή ηρετίσατο` και ως νύμφην εκλεκτήν η αυτώ προσηρμώσατο· και μετώκισεν ουρανίοις θαλάμοις, εντρυφώσαν της αυτού αφράστου δόξης, ω Θεοκτίστη πανθαύμαστε.

*Δόξα. Ήχος δ`.*

Τον της ασκήσεως δρόμον απερίτρεπτον τελέσασα, και τον Σταυρόν αραμένη, τω Χριστώ ακολουθήσασα, Θεοκτίστη παμμακάριστε· πάντα του βίου κατεφρόνησας, ως άχρηστα ρευστά και επίκηρα· και μόνο τα μόνιμα και αεί διαμένοντα, ολοψύχως επεπόθησας· νοερώς ενοπτριζομένη ταις επαγρύπνοις σου προσευχαίς, και πανύχοις

στάσεσιν· ως και αξίως τετύχηκας παρά του μόνου Θεού, του ενδοξαζομένου εν τοις αγίοις αυτού.

*Και νυν.*

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος εν ναώ αγίω προσάγεται· και Ζαχαρίας ταύτην υποδέχεται· σήμερον τα των αγίων άγια αγάλλονται, και ο χορός των αγγέλων μυστικώς πανηγυρίζει· μεθ` ων και ημείς εορτάζοντες σήμερον. Συν τω Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη ο Κύριος μετά Σου· ο έχων το μέγα έλεος.

*Απολυτίκιον. Ήχος πλ. Α`.*

Της Μηθύμνης τον γόνον και θείον βλάστημα, και Παρίων το κλέος και το εντρύφημα, Θεοκτίστην την Αγίαν ευφημήσωμεν· χαίροις βοώντες προς αυτήν, καλλιπάρθενε αμνάς, και νύμφη Θεού του λόγου· ω και πρεσβεύεις αδιαλείπτως ελεηθήναι τας ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά την α` στιχολογία.*

*Καθίσματα. Ήχος α. Τον τάφο σου Σωτήρ*

Ισάγγελον ζωήν, επί γης κεκτημένη, δοχείον καθαρόν, συ του πνεύματος ώφθη· διο και εμπέπλησαι των αυτού επιλάμψεων, χάριν νέμειν τε και οφλημάτων την λύσιν τοις τελούσι σε την αξιέπαινον μνήμην, Θεοκτίστη πάνσεμνε.

*Δόξα Πατρί. Ήχος δ`. ταχύ προκατάλαβε*

Επέστη, φιλέορτοι, λαμπράς πανήγυρις η μνήμη η ένδοξος της Θεοκτίστης αγνής· τους πάντα ευφραίνουσα· όθεν και συνελθόντες κατά χρέος τιμώμεν· άσμασιν επαξίοις την φαιδρά αυτής μνήμην. Εν η αναπηγάζει ημίν, ρείθρα ιάσεων.

*Και νυν.*

Την χάριν νυν άπαντες ανευφημήσωμεν, μήτηρ του Θεού ημών, ως δι αυτής την χαράν τω κόσμω αυγάσασαν· λύσις της αμαρτίας ευραμένη η φύσις άπασα των ανθρώπων, γηθομένη κραυγάζει. Ευχαίς αυτής Κύριε, ρύσαι ημάς των δεινών.

*Μετά την β` στιχολογία.*

*Καθίσματα. Ήχος πλ. Α`. τον συνάναρχον λόγον.*

Θεϊκήν παντευχίαν αναλαβούσα σεμνή· και Σταυρού την ισχύϊ καθοπλισθείσα στερρώς ασκητικώς τον πονηρόν κατεπάλεσας, και εδέξω κατ` αυτού, βραβεία νίκης ανδρικώς· παρά του μόνου Δεσπότου· Χριστού του αγωνοθέτου· ω και πρεσβεύεις ελεηθήναι ημάς.

*Δόξα. Και νυν.*

Την ταχείαν σου σκέπην και την βοήθειαν, και το έλεος δείξον επί τον δούλον σου· και τα κύματα Αγνή καταπράϋνον· των ματαίων λογισμών· και την πεσούσαν μου ψυχήν ανάστησον Θεοτόκε· οίδα γαρ οίδα Παρθένε· ότι ισχύεις ότι και βούλοιο.

*Μετά τον πολυέλεον. Κάθισμα ήχος γ`. την ωραιότητα*

Κόσμου τερπνότητα Οσία έλιπες· μόνον ποθήσασα τον σον νυμφίον Χριστόν· Νίσσυρι δε δυσσεβή δεινώς αιχμαλωτισθείσης, σης πατρίδος, έφθασας κυβερνήσει του λόγου σου, Πάρου την πανέρημον, και ναώ προσεπέλασας, της μονής αγνής Θεοτόκου· τον βίον αμέμπτως διανύσασα.

*Δόξα. Και νυν.*

Ακατανόητον και ακατάληπτον· υπάρχει Δέσποινα θεοχαρίτωτε· το πεπραγμένον επί σοι αγνή φρικτόν μυστήριον· την γαρ απερίληπτον συλλαβούσα εκύησας· σάρκα περιθέμενον εξ αχράντων αιμάτων σου· ον πάντοτε αεί εκδυσώπει, ως υιόν σου του σώσαι τας ψυχάς ημών.

*Οι αναβαθμοί. Το α` αντίφωνο του δ` ήχου.*

*Προκείμενον. Ήχος δ`.*

*Θαυμαστός ο Θεός εν τοις αγίοις αυτού*

*Στ.: Εν εκκλησίαις ευλογείτε τον Θεόν.*

*Εκ του κατά Μάρκου ευαγγέλιον.*

Είπεν ο Κύριος· όστις θέλει οπίσω μου ακολουθείν· απαρνησάσθω εαυτόν και αράτω τον Σταυρόν αυτού και ακολουθείτω μοι. Ος γαρ αν θέλη την ψυχήν αυτού σώσαι, απολέσει αυτήν· ος δ` αν απολέση την ψυχήν αυτού ένεκεν εμού και του ευαγγελίου, ούτος σώσει αυτήν. Τις γαρ ωφελήσει άνθρωπον, εάν κερδίση τον κόσμον όλον και ζημιωθή την ψυχήν

αυτού; Η τις δώσει αντάλλαγμα της ψυχής αυτού; Ος γαρ αν επαισχυνθή τε και τους εμούς λόγους εν τη γενεά ταύτη τη μοιχαλίδι και αμαρτωλώ, και ο υιός του ανθρώπου επαισχυνθήσεται αυτόν, όταν έλθη εν τη δόξη του Πατρός αυτού μετά των αγγέλων των αγίων· και έλεγεν αυτοίς, αμήν λέγω ημίν· ότι εισί τινές των ώδε εστηκότων· οίτινες ου μη γεύσονται θανάτου, έως αν ίδωσι την βασιλείαν του Θεού, εληλυθείαν εν δυνάμει.

*Ο Ν` ψαλμός.*

*Δόξα. Ταις της σης Οσίας πρεσβείας ελεήμον…*

*Και νυν. Ταις της Θεοτόκου πρεσβείαις ελεήμον…*

*Ηx. Β. Ελεήμον, ελέησον με ο Θεός…*

Απορίψασσαν πάσαν του θήλεως ασθένειαν προς τους αγώνας ανδρικώς εχώρησας, και τω δεσπότη Χριστώ στεφανηφόρος παρέστηκας, αεί χοροβατούσα συν αγγέλων ταις χορείαις, οσία Θεοκτίστη· παρρησίαν ουν έχουσαν προς Αυτόν, εκτενώς ικέτευες υπέρ των ψυχών ημών.

*Ο μικρός παρακλητικός κανών της Θεοτόκου μετά των Ειρμών εις στ` .*

*Και της Οσίας οι δύο ανά τέσσερις.*

*Ωδή α`. Θαλάσσης το ερυθραίον. Ήχος δ`*

Τον νουν μου καταυγασθήναι δέομαι ταις φωτοβόλοις ευχαίς· των σων χαρίτων Δέσποτα Χριστέ,

αμαυρούμενον πάθεσιν· όπως αξίως μέλψωμαι, της σης Οσίας μνήμην ένδοξον.
Επέστη χαρμονική πανήγυρις πιστοί θεόφρονες, της ακηράτου σήμερον ημίν, Θεοκτίστης της σώφρονος· προς πανδαισίαν άγουσα, των φιλεόρτων τα συστήματα.
Υπήλθες καρτερικώ το στάδιον το της ασκήσεως· δυναμουμένη σθένει θεϊκώ, Θεοκτίστη πανθαύμαστε· και προς τρυφήν αδάπανον, του παραδείσου μεταβέβηκας.
Νεφέλην σε ομβροφόρον Δέσποινα κατονομάζομεν· ως υετόν· τεκούσα της ζωής, ίνα τον θεάνθρωπον· τον τους βροτούς αρδεύσαντα, αυχμώ τακέντας παραβάσεως.

*Έτερος κανών της Οσίας, ου η ακροστιχίς: Ωδαίς ανυμνώ τον Θεοκτίστης βίον.*

*Ωδή α`. ήχος πλ. Δ`. Αρματηλάτην Φαραώ*

Ως παρθενίας καθαρόν κειμήλιον και ακηλίδωτον, τω καθαρώ λόγω, και αγνώ νυμφίω σου, εν ουρανοίς παρίστασαι, Θεοκτίστη πταισμάτων, εξαιτούμενη συγχώρησιν, μνήμην σου σεπτήν τοις σε γεραίρουσι.
Δεσμούς στοργής των γεννητόρων λύσασα, πόθω του πλάσαντος· παρθενικοίς δήμοις, σε αυτήν κατέμιξας· αγνεύουσα τω σώματι, και τω πνεύματι άμα· εντεύθεν ώφθης ανάκτορον, του παρθενικού θησαυρίσματος.
Αλλοιωθείσα την καλήν αλλοίωσιν θείου εξ έρωτος· ασκητικοίς πόνοις, σε αυτήν εκδέδωκας, αρρενωπόν

δεικνύουσα το της φύσεως χαύνον· και ασθενές το του θήλεως· θείαις εν ελπίδι ρωννύουσα.

*Θεοτοκίο.*

Ίχνεσιν σοις παρθενομήτωρ άχραντε ακολουθήσασα, το εξ αγνής μήτρας, σου εξανατείλαντι, η Θεοκτίστη χαίρουσα, ενυμφεύσατο κλήρον, λαβούσα την επουράνιον, και παστάδα την ακατάληπτον.

*Καταβασία. Ανοίξω το στόμα μου.*

*Ωδή γ`. Ευφραίνεται επί σοι*

Τα πάθη τα της σαρκός απονεκρώσασα θείω έρωτι· νύμφη Θεού γέγονας· Θεοκτίστη μήτερ πανθαύμαστε.

Αρδεύσασαν την ψυχήν· τοις των δακρύων οχετοίς πάνσεμνε, ως εύκαρπος άρουρα, ήνεγκα καρπούς τω Κυρίω σου.

Γενναίως τον σκολιόν, και ιοβόλον δυσμενή δράκοντα πόνοις τοις σοις έτρωσας, κράτους θεϊκού δυναμούντος σου.

*Θεοτοκίο.*

Ικέτης προς τον εκ σου, σωματωθέντα δυσωπώ φάνηθι· των πονηρών έργων μου, όπως επιτύχω αφέσεως.

*Έτερος. Ο στερεώσας κατ` αρχάς*

Σώμα φυλάξασαν αγνόν, και πνεύμα κεκαθαρμένον· εναντίαι σε δυνάμεις ορώσα, απηλαύνοντο σφοδρώς,

των προσευχών σου μάστιγι· και τοις δακρύοις όμβροις ο λεγεών απεπνίγετο.

Απαθεστάτω λογισμώ τοις νοητοίς ομιλούσα, και Θεώ ενατενίζουσα μόνω, κατετρύφας της Αυτού, αφράστου ωραιότητος· ο γαρ αυτού σε πόθος, όλην προς τούτον ανέφλεγεν.

Νενυμφευμένη τω Χριστώ δι έρωτος θειοτάτου· και αυτού πυρπολουμένη τω κάλλει· της σαρκός τους εμπαθείς, εναπεσείσω έρωτας· πάσαν γεώδη σχέσιν ως ψυχοφθόρον
μισήσασα.

*Θεοτοκίο.*

Υπεραρθείσα των της γης φροντίδων Θεοκυήτορ· Θεοκτίστη του υιού σου τω πόθω, τετρωμένη τοις αυτού, ίχνεσιν ηκολούθησε· σε βοηθόν πλουτούσα· και προστασίαν αήττητον.

*Καταβασία. Τους σους υμνολόγους*

*Κάθισμα. Ήχος πλ. Δ`. Τον συνάναρχον Λόγον*

Του Σταυρού σου ταις ακτίσι καταλαμπρύνασα, την ψυχήν μετανοίαν καθωραίσασα, των παθών τας προσβολάς απενέκρωσας· και νυμφίον τον Χριστόν αρμοσαμένη ευσεβώς· ηγάπησας μέχρι τέλους αυτόν, αεί δυσωπούσα· ελεηθήναι τας ψυχάς ημών.

*Δόξα Πατρί. Και νυν.*

Το εξαίσιον θαύμα το της συλλήψεως· και ο άφραστος τόκος ο της λοχίας σου· εν σοι αγνώριστη Αγνή Αειπάρθενε· καταπλήττει μου το νουν· και

εξιστά τον λογισμόν, η δόξα σου Θεοτόκε· τοις πάσιν εφαπλουμένη, προς σωτηρίαν των ψυχών ημών.

*Ωδή δ`. Επαρθώντα σε*

Λελυτρωμένη χειρών των μιαιφονούντων, του δυσμενούς Νισσυρέως θεϊκή δυνάμει· έστης τω ναώ της αγνής θερμώ.

Γεγυμνωμένη ίμασι τοις του σαρκίου, ολοτελώς διήνοας αίθριος Οσία, ζωήν την επίπονον κραυγάζων τω κτίστη σου, δόξα τη δυνάμει σου Κύριε.

Πυρπολουμένη τω έρωτι του Δεσπότου· ον εκ ψυχής ηγάπησας, έστης προς αγώνας, τους ασκητικούς της σαρκός· διο και απέλαβες γέρας παρ` αυτού των καμάτων σου.

*Θεοτοκίο.*

Κυοφορείς Μητροπάρθενε τον Δεσπότην και γαλουχείς τον τρέφοντα αμνών το γένος ωλέναις κατέχεις ταις σαις τον πάντα συνέχοντα, και δρακί κρατούντα τα σύμπαντα.

*Έτερον. Συ μου ισχύς Κύριε*

Μέλη σαρκός, ω Θεοκτίστη νεκρώσασα εν τω πάσης βίου ματαιότητος, σ` αυτήν μακρύνας πανευσεβώς, την ζωοποιούσαν ενέργειαν κατεπλούτησας, τω κόσμω νεκρουμένη, και Θεώ μόνω ζώσα, προς ον πάσαν ανέτεινας έφεσιν.

Νόμω πικράς αιχμαλωσίας δουλεύσασα, και βαρβάρων γεγονυία λάφυρον, ηχμαλωτίσθης υπό

Θεού λύτρωσιν ευρούσα, βαρβαρικής κατασχέσεως· εντεύθεν τας ερήμους κατοικίσασα εύρες την θεϊκήν ψυχικήν εις παράκλησιν.

Ώπται το πριν, Αδάμ γυμνός δια βρώσεως, συ δε τούτου μήτερ το ολίσθημα, επανορθώσω την εν Χριστώ, γύμνωσιν παθούσα, δι ης εκείνος απέθετο, των φύλων την αισχύνην, και χιτώνα το θείον τη γυμνώσει τη ση περιέθετο.

*Θεοτοκίο*

Τοις νοεροίς όμμασι Θεοκυήτορ Αγνή, Θεοκτίστη κάλλος του τεχθέντος εκ Σου, φανταζομένη και υπ` αυτού, καταυγαζομένην αχλύν την κάτω παρέδραμε, και τούτω επομένη, εις νυμφώνα τον θείον συν αυτώ αιωνίως εσκήνωσε.

*Καταβασία. Την ανεξιχνίαστον*

*Ωδή ε`. Συ Κύριε μου φως*

Αγάλλεται φαιδρώς, η πατρίς η σε φύσασα, ευφραίνεται δε αξίως η λαχούσα σε πόλις, εν η το πέρας είληφας.

Ανένδοτον τον νουν, εσχηκεία τω κτίστη σου υπέφερες της σαρκός σου, τας δεινάς τρικυμίας ανέμων παμμακάριστε.

Τους πόθω την σεπτήν εκτελούντας σου κοίμησιν, πανένδοξε Θεοκτίστη· η δυσχερών πολυτρόπων περίσωζε πρεσβείαις σου.

*Θεοτοκίο*

Ολότιμον πατρί, υπάρχοντα και πνεύματι, εκύησας Θεομήτωρ υπέρ νουν τε και λόγον· Χριστόν τον Λυτρωτήν ημών.

*Έτερος. Ίνα τι με απώσω*

Ου συνηχμαλωτίσθης, την ψυχήν τω σώματι ου προέκρινας· την ελευθερίαν, εν Χριστώ της αρίστης δουλώσεως· αλλ` εν ταις ερήμοις, κατασκηνώσασα προθύμως· της παθών δεσποτείας λελύτρωσαι.

Νοεραίς θεωρίαις, όλη της σαρκός προς Θεόν εκδημήσασα, εγυμνώθης σώμα, το της ψυχής ακηλίδωτον όργανον· την απαθεστάτην διαγωγήν του παραδείσου, προ της βρώσεως συ εικονίζουσα.

Θανατώσασα πάσαν, σώματος ορμήν ψυχοφθόρον Θεόνυμφε· προ θανάτου θνήσκειν, ηρετίσω εκούσιον θάνατον· ούπερ τη μελέτη διηνεκώς ρυθμιζομένη· προς ζωήν εκ θανάτου μεθέστηκας.

*Θεοτοκίο.*

Ολικώς τω Υιώ Σου μόνη Μητροπάρθενε η καλλιπάρθενος· κολληθείσα Κόρη· Θεοκτίστη των μύρων εμπέπλησται· τούτου των αΰλων· ον της οσμής εφιεμένη· προς αυτόν ατενώς αναφέρετο.

*Καταβασία. Εξέστη τα σύμπαντα*

*Ωδή στ`. Θύσω σοι μετά φωνής*

Αβρόχως διέλευσας του βίου κλύδωνα ταις δε ασκήσεως αύραις· προς λιμένα εύδιον καθορμίσθης.

Πτερνίσαι ο βελίαρ την σην ουκ ισχύσατο, γενναιοτάτην ανδρείαν, αλλ` αυτού τα θήρατρα της κακίας προσευχή σου συντονοτάτη θάττον ηφάνισας.
Ουδόλως τα του βίου τερπνά ως ανύπαρκτα, ηγήσω Μήτερ Οσία τον ωραίον κάλλει επιποθούσα· δια τούτο, και της τούτου εφέσεως έτυχες.

*Θεοτοκίο.*

Λυχνίαν χρυσαυγή, και παστάδα σε έγνωμεν· και ομβροφόρον νεφέλην· υετόν ως τέξασα Θεοτόκε, τον τους καύσωνι αμαρτίας τακέντας δροσίσαντα.

*Έτερος. Ιλάσθητι μοι Σωτήρ*

Κρυφιομύστως Θεώ, συγγενομένη θεόπνευστε· γυμνώσεως σαρκικής ουδόλως εφρόντισας, το γαρ πυρ το άϋλον, σου εν τη καρδία, αναφθέν σε περιέθαλπε.
Τω κρύει και παγετώ τοις νιφέτοις και τω καύσωνι γυμναζομένη σεμνή· σιδήρου στερρότερον, τον χουν απετέλεσας· τον νουν προς θείαν θεωρίαν ανεβίβασας.
Ιόν τον εν τη Εδέμ, διαχυθέντα του όφεως της Εύας ταις ακοαίς, αυτή απεμείωσας· ακοήν τηρήσασα· ταραχής εκ βίου και θορύβων ανεπίβατον.

*Θεοτοκίο.*

Σεσάρκωται υπέρ νουν, εν ση νηδύϊ πανύμνητε· ο λόγος ο του Πατρός, παρθένων συστήματα· αγνώς μνηστευσάμενος· μεθ` ων Θεοκτίστη· απαθώς αυτώ νενύμφευται.

*Καταβασία. Την θείαν ταύτην*

*Κοντάκιον. Ήχος γ`. Η Παρθένος σήμερον*

Θεοκτίστην άπαντες νυν ευφημήσωμεν ύμνοις· τη ασκήσει γέγονε πεφυτευμένη ως ξύλον· ρεύμασιν τοις των δακρύων αρδευσαμένη, έβλυσε καρπούς αξίους τη εγκρατεία· δια τούτο μετετέθη προς αοιδίμους και ακηράτους μονάς.

*Ο οίκος.*

Τα φθαρτά παριδούσα την αφθαρσίαν είληφας· τας τερπνάς ηδονάς του σώματος εμίσησας· από βρέφους ποθήσασα την αγνοίαν· όθεν κόσμου απέδρασας, θανάτων των φυσαντών σε· μόνη Θεού Οσία τον έρωτα επιποθήσασα και αυτόν αγαπήσασα, όλη ψυχή και διανοία αληθώς· δια τούτο μετετέθη προς αοιδίμους και ακηράτους μονάς.

*Έτερον. Ήχος δ`. Επεφάνης σήμερον*

Των προσκαίρων πάνσεμνε απολυθείσα· μετωκίσθης χαίρουσα, προς τας αύλους νυν μονάς, απολαβούσα τα έπαθλα των σων αγώνων, παρά Χριστού του Θεού.

*Ωδή ζ`. Εν τη καμίνω*

Πικράς ανέμων γενναιοτάτω τω φρονήματι, έστεργες κακώσεις και τας των υετών, και χιόνων τας νιφάδας τε αιθρίω τω σώματι· ευχαριστούσα Θεώ δυναμούντι σε.

Ρώμη τη θεία, ωτρυνομένη προσεχώρησας, προς τας παρατάξεις των άσαρκων εχθρών· και την τούτων κατηδάφισας, ισχύν ανίσχυρον· επευλογούσα Χριστόν τον φιλάνθρωπον.

Ωραϊσμένη της παρθενίας καλλοπίσμασιν· ήρθης νυμφοστόλος Θεοκτίστη σεμνή. Εις νυμφώνα τον ουράνιον συμβασιλεύουσα· τω εις αιώνα αεί βασιλεύοντα.

*Θεοτοκίο.*

Αγιωτέρα, αγίων πάντων Κόρη πέφυκας· και καθαρωτέρα ουρανίων νόων· ως τον πάντων αγιώτατον, αγίως τέξασα, την του αγίως δοξάσαντα.

*Έτερος. Θεοτόκου συγκατάβασιν*

Την έρημον ώκησας· γυμνής παντοίας, περιβολής αισθητής· τρεφόμενη τω λόγω τω προϊόντι εκ θείου στόματος· ω λιπανθείσα ψυχής αισθητήρια κατεγλυκάνθης τον νουν, θεία ηδύτητι.

Ηλλοίωσας πρόσκαιραν μορφήν ομμάτων, ως ούσαν δέλεαρ, αντιστρέψασα πάντα των ορωμένων τα κάλλη πάνσεμνε· προς τον εντός σου αόρατον άνθρωπον· ον και καλλωπίσασα Θεώ προσήρμωσας.

Σκιρτώσι γηθόμεναι, νήσοι θεόφρον ψυχαί τε άμωμοι αι του βίου τη άλμη, και τρικυμίαις περικυκλούμεναι τη ση λαχούση νήσω συγχορεύουσαι, τη γενομένη σε πιστόν σοι ενδιαίτημα.

*Θεοτοκίο.*

Βοήθειαν έχουσα, σε και προστάτην Θεοχαρίτωτε. Θεοκτίστη τω λόγω, τω εκ γαστρός σου εξανατείλαντι· συνανεκράθης ψυχής καθαρώτητι κατατρυφώσα αυτού της ωραιότητος.

*Καταβασία. Ουκ ελάτρευσαν*

*Ωδή η`. Χείρας εκπετάσα*

Τρωθείσα τω έρωτι Χριστού, και τη απλήστω στοργή προθύμως ήνυσας, τα της ασκήσεως σκάμματα, Θεοκτίστη παμμακάριστε και αναπτάσα προς Αυτόν μέλπεις κραυγάζουσα· ευλογείτε πάντα τα έργα Κυρίου, τον Κύριον.

Οδεύσασα τρίβον την στενήν τον της ασκήσεως, εν περαιώσει σου, αξίως μήτερ μετέσχηκας, της μερίδος του Κυρίου σου` παρά του νεύσει θεϊκή θεασαμένου σε· και εβόας νυν απολύεις την δούλην σου Δέσποτα.

Παρθένον η ένδοξος πληθύς, οσίων τάγματα, φαιδρώς αθροίσθητε, την ακηράτου Παρθένου νυν Θεοκτίστης ευφημήσωμεν, την σεβασμίαν και σεπτήν αυτής μετάστασιν, εκβοώντες· ευλογείτε πάντα τα έργα Κυρίου τον Κύριον.

*Θεοτοκίο.*

Ο τα πάντα ειδώς και προορών, Θεοκυήτορ Αγνή, ως πάντων Κύριος των εσομένων την δήλωσιν, ευδοκήσας μετωκίσατο· την Θεοκτίστην μέλπουσα του θείου οίκου σου, και υμνούσαν απαύστως το θείον σου όνομα.

*Έτερος. Επταπλασίως κάμινος*

Ίνα τω κόσμω γνώριμον, των κρυφίων ο γνώστης, Θεός σου την βιωτήν την καθαράν και άμωμον σεμνή απεργάσητε· τοις θηρευταίς κατάδηλον, σε και φανεράν, επευδοκεί του γενέσθαι· οις και διαγνωσθείσα, εκηρύχθης τω κόσμω εκλάμψασα εκ σκότους προς θεαρχίας φάος.

Όλην σ` αυτήν πανάμωμον· καθαράν εκτελέσασα, και των μαρτυρίων δεκτικήν ηξίωσαι, της τούτων μεθέξεως· δι ον αναπλαττόμεθα, και την εκ του σώματος αιτήσασα λύσιν· αυτίκα προς την άνω μεταβέβηκας λήξιν· Χριστόν τον σον νυμφίον· τρανώτερον ορώσα.

Νόμω κοινώ της φύσεως θεωρήσας κειμένην σε· άπνουν και νεκράν, γεγυμνωμένην άταφον, χειρός την αφαίρεσιν, εις ευλογίαν ένδειγμα` σου κατατολμά ω και το πριν εγνωρίσθης· αλλ` ώφθης την πορείαν· κατευθύνουσα τούτου, ευθύς απολαβούσα την συλληφθείσαν χείρα.

*Θεοτοκίο.*

Παρθενικώς χορεύουσα και σκιρτώσα τω πνεύματι· σου και της Παρθένου και μητρός πανύμνητε· οπίσω αγνεύουσα, η Θεοκτίστη έδραμε· και ση μεσιτεία τω Υιώ Σου και Πλάστη αφθόρως νυμφευθείσα, κατοπτεύειν την δόξαν· αυτού την υπέρ λόγον, εις πάντας τους αιώνας.

*Καταβασία. Παίδας ευαγείς*

*Ωδή θ`. Λίθος αχειρότμητος*

Άγγελοι εθαύμασαν όντως την εν σαρκί σου την εν όλω άϋλον σεμνή πολιτείαν· δαιμόνων στίφη κατεδασφίθησαν· των δε αγίων τάγματα, πνεύμα δεχθέντα σε ηργάσθησαν.

Πάσαν μου την νυν προσδοκίαν, σοι ανατίθημι Οσία εύροιμι θερμήν προστασίαν, προς την των όλων σώζειν δυνάμενον· τω την ωδήν σοι πλέξαντι, την των σφαλμάτων λύσιν δούναι μοι.

Αυλαίς ουρανών νυν αγάλλη, συν ασωμάτων στρατηγίαις, μέλπουσα συν τούτοις αξίως, το θείον ύμνον ακαταπαύστω φωνή ω Θεοκτίστη πάνσεμνε, περί τον θρόνον του Παντάνακτος.

Σήμερον η σε πλουτισθείσα, Παρίων πόλις χαρμοσύνως· τέρπεται αγώνας τους σεπτούς, των σων ιδρώτων, πανηγυρίζουσαν την σην σεπτήν μετάστασιν, ω Θεοκτίστη παμμακάριστε.

*Θεοτοκίο.*

Στήσον Παναγία Παρθένε τη καθ` ημάς άπληστον ζάλην· των αθεοτάτων βαρβάρων· και τω λαώ σου ειρήνην βράβευσον, δι ευσεβούς ανάκτορος. Ίνα Σε πάντοτε μεγαλύνωμεν.

*Έτερος. Εξέστη επί τούτω*

Εξέστησας φύσιν των γηγενών· των αγγέλων χείρας εθάμβησας ότι θνητής φύσεως λαχούσα και ασθενούς· αιχμαλωσίας ήνεγκας, πρόξενον ζωής σοι

της εν Χριστώ εξ ης και τας ερήμους κατώκησας προθύμως Θεόν εν ταύταις θεραπεύουσα.

Ο πάντα συμφερόντως οικονομών, από γης σου το σώμα μεθίστησι· προς ην αυτός έκρινε κατάπαυσιν υπέρ νουν· οικείσθαι κατηξίωσας, τούτο αναδείξασα προ ταφής· εν υλικοίς χωρίοις αποθησαύρυϊσθήναι· αλλ` ακηρατοίς κατοικείν εν σκηναίς.

Λυθείσα του σαρκίου και προς Θεόν αναπτάσα την τούτου ευπρέπειαν· τη υπέρ νουν βλέπεις ασωμάτως και νοερώς, εξαιτουμένη μνήμην σου τους επιτελούντας την ιεράν ωφθήναι ζηλωτάς σου· του βίου και του τρόπου, και κοινωνούς δόξης ης έτυχες.

*Θεοτοκίο.*

Χορείας επεσπάσω παρθενικάς, μητροπάρθενε μόνη Θεόνυμφε, αφ` ου Θεόν τέτοκας Παρθένε σωματικώς· μεθ` ων και η παρθένος σου, συνεπικολούθησεν ακλινώς εκ πόθου Θεοκτίστη· και τη ση συμμαχία, του νοητού νυμφώνος έτυχε.

*Καταβασία. Άπας γηγενής*

*Εξαποστειλάρια. Τοις μαθηταίς συνέλθωμεν*

Μοναζουσών αγλάϊσμα, και οσίων ακρότης· αγγέλων ισοστάσιε, και ομότιμε δόξης, τους σε πιστώς ευφημούντας, και λαμπράς εκτελούντας, την παναγίαν μνήμην σου, φύλαττε σαις πρεσβείαις· εκ δυσχερών, και παντοίας βλάβης του αλλοτρίου· ως παρρησίαν έχουσα Θεοκτίστη Οσία.

*Θεοτοκίο.*

Ευλογημένη Πάναγνε Θεοτόκε Παρθένε, χριστιανών το καύχημα, των αγγέλων η δόξα και των οσίων το κλέος, κράτος, τείχος, και σκέπη και οχυρόν προπύργιον, φύλαξ τε και προστάτης και βοηθός εν κινδύνοις, φάνηθι τοις σοις δούλοις· εν σοι γαρ εγκαυχώμεθα, προστασία του κόσμου.

*Εις τους στίχους στώμεν στίχους δ`. Στιχηρά προσόμοια. Ήχος α`. Πανεύφημοι μάρτυρες.*

Ως όντως υπέρλαμπρη η μνήμη θεομμακάριστε· εν η παρέχεις ιάματα, τοις προσιούσι σε· αδιστάκτω πίστει, και πηγάζεις χάριτας, αφθόνως Θεοκτίστη εκάστοτε, διο ικέτευε, δωρηθήναι ταις ψυχαίς ημών· την ειρήνην και το μέγα έλεος.

Αγνοίας τοις βέλεσι σφοδρώς, τετρωμένη έδραμες· προς ερημίαν την μόνωσιν, της καθαρώτητος συνεργόν ηδεία, και Θεώ προσφέρουσα, τους ταύτην εκ ψυχής αγαπήσαντας· διο ικέτευε δωρηθήναι ταις ψυχαίς ημών το μέγα έλεος.

Νυμφίον ποθήσασα Χριστόν, τούτω ηκολούθησας· πάντα τον κόσμον μισήσασα, και απετέλεσας, σ` αυτήν Οσία· καθαρόν του Πνεύματος· δοχείον και τερπνόν καταγώγιον· διο ικέτευε δωρηθήναι ταις ψυχαίς ημών το μέγα έλεος.

Λυθείσα δεσμόν των της σαρκός Θεοκτίστη πάνσεμνε· προς ακηράτους μεθέστηκας μονάς αξίους τε· συναγαλλομένη, τω Θεώ και Κτίστη σου·

διο και παρ` Αυτού χάριν είληφας· διο και παρ` αυτού χάριν είληφας· πρεσβεύειν πάντοτε των εν πίστει εκτελούντων σε την φωσφόρον και θείαν πανήγυριν.

*Δόξα. Ήχος δ`*

Το σταθερόν της καρτερίας σου άγγελοι κατεπλάγησαν· και άνθρωποι εθαύμασαν, Θεοκτίστη παμμακάριστε· των γαρ ασάρκων δυσμενών τας κάρας ωραίοις σου ποσί κατεπάτησας· και εις τέλους κατηδάφησας ταις αγρύπνοις σου προσευχαίς και δακρύων προσχύσεσι· συνεργούσης της χάριτος, της πανυμνήτου Θεομήτορος· ην και νοερώς ενοπτρίζη τας ευχάς αποπληρούσα, εν τω αυτής πανσέπτω τεμένει· διο και απέλαβες αντάξια των πόνων σου δια παντός αγαλλομένη· μετά οσίων και παρθένων, εν τη αλήκτω ζωή.

*Και νυν. Εκ παντοίων κινδύνων.*

